ταύτηϲ.
(Γε.) ἀληθῶϲ. [
ὅδ᾽ ἐϲτιν ὁ γέρων;
(?) λαμ[
[Γε.] τί τοῦτο; καὶ ϲύ, γράιδιο[ν,
κ̣α̣λεῖϲ. πόθεν, βέλτιϲτε, [
οἴκοθεν;
Δη. ἐβουλόμην ἄν.
Γε. ἀλλ[ὰ τ]υγχάνειϲ
ἀπόδημοϲ ὢν ἐκεῖθεν;
Δη. ἐκ Κύπρου παρὼν
ἐνταῦθα πρῶτον τῶν ἐμῶν ταύτην ὁρῶ.
καὶ δῆλον ὡϲ ἔϲπαρκε τῶν οἴκοι τινὰϲ
ὁ κοινὸϲ ἐχθρὸϲ πόλεμοϲ ἄλλον ἀλλαχῇ.
Γε. ἔχει γὰρ οὕτωϲ· αἰχμάλωτοϲ γενομένη
αὕτη πρὸϲ ἡμᾶϲ ἦλθε τοῦτον τὸν τρόπον.
δραμὼν δέ ϲοι τὸν δεϲπότην ἤδη καλῶ.
[ ] Δη. οὕτω πόει.

(uersus vi male laceri)

]ημεν: οτετηλ̣[
εἰ] δ̣᾽ οὐκ[έτ᾽ ἔ]ϲτι τίϲ λέγει ϲοι τὸν λόγον;
[Δη.] ] ἀπόλωλα.
(Κρ.) οἴμοι τάλ̣αινα τῆϲ ἐμῆϲ
ἐγὼ τύχηϲ· ὡϲ οἰκτρά, πάππα φίλτατε,
πεπόνθαμεν. τέθνηκε.
Δη. ὑφ᾽ οὗ γ᾽ ἥκιϲτ᾽ ἐχρῆν.
[Κρ.] οἶϲθαϲ ϲὺ τοῦτον;
[Δη.] οἶδα· καὶ ϲυν. [
[? Κρ.] ἁλοῦϲ᾽ ἅμιλ̣λ̣α̣ [τ᾽] οὖϲα τοῦ [